τὰ δὲ πρὸ τούτων καὶ μετὰ ταῦτα, ἰσχυρῶς σοι ἐναντιούμενα, καταλέλοιπας.

κ) Ὅτι καθ' ἅπερ τὸ «αὐξάνεσθε καὶ πληθύνεσθε» καὶ τὸ «ἰδοὺ δέδωκα ταῦτα πάντα ὑμῖν εἰς βρῶσιν καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς» ἔλεγε μὲν ἐν παραδείσῳ, μετὰ ταῦτα δὲ ὅμως ἔσχε τὸ ἐνεργές, μετὰ τὸ ἐκβληθῆναι δῆλα δὴ τοῦ παραδείσου, κατὰ τὸν Καισαρεία; Ἀκάκιον, οὕτω καὶ ἐπὶ τῆς βρώσεως ταύτης ἐννοεῖσθαί σε ἄξιον. Οὐ γὰρ ὡς ἐνδεῆ τηνικαῦτα ὄντι τῷ Ἀδὰμ ἀπὸ πάντων ἐσθίειν, εἴ γε καὶ περὶ αἰσθητῆς τέως ἐνομοθέτει βρώσεως, ἀλλ' ὅπως εἰδέναι ἔχῃ, ἐπειδὰν ἐνδεὴς γένηται τίνων τε χρὴ ἅπτεσθαι καὶ τίνων οὐ χρή. Καὶ γὰρ εἰ f 192v μὴ θεία τις ἐδίδοτο συγχώρησις ἐπί τε ‖ τῇ γαμικῇ συναφείᾳ καὶ τῇ ἀπολαύσει τῶν ἐδωδίμων, οὐκ ἂν εἰς πλῆθος μετὰ ταῦτα τὸ γένος ἐλήλυθε τὸ ἀνθρώπινον. Καὶ μὴν Ἀκάκιος τἀναντία δήπου παρίστησιν, εἰ καὶ Ἀρειανὸς ἐστιν, οὑτωσὶ φάσκων. «Οὐκ οἶμαι δὲ ἀμφιβάλλειν οὐδὲ τὸν ἀγνωμονέστερον, ὡς αἰσθητὸς ὑπῆρξε παράδεισος, τῶν τεσσάρων ποταμῶν αἰσθητῶν ὑπαρχόντων, ἅτε καὶ τοῖς ὀφθαλμοῖς ὁρωμένων καὶ αὐτοῖς τοῖς ὀνόμασι καλουμένων. Εἰ δὲ οὗτοι αἰσθητοί, δῆλον ὅτι καὶ ὁ ἐκπορευόμενος ἐξ Ἐδέμ, ὅθεν ἀφωρίσθησαν. Εἰ δὲ καὶ αὐτὸς αἰσθητὸς ὁ ποτίζων τὸν παράδεισον, τὶς ἔτι μηχανὴ ὑπολειφθείη, μὴ οὐχὶ καὶ αὐτὸν τὸν ποτιζόμενον αἰσθητὸν ὑπάρχειν; Εἰ δὲ ὁ παράδεισος αἰσθητός, δῆλον ὅτι καὶ τὰ φυτά. Εἰ δὲ ταῦτα, καὶ τὸ ξύλον ἄρα τῆς ζωῆς, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. Κατασκευαστέον δὲ αἰσθητὸν εἶναι τὸν παράδεισον καὶ ἐκ τοῦ περὶ Σοδόμων εἰρημένου. Ὡς ἄρα ἦν ὁ παράδεισος τοῦ Θεοῦ, οὐκ ἂν γὰρ τὸ αἰσθητὸν τῷ νοητῷ παρεβάλλετο, ὥσπερ οὖν οὐκ ἂν εἴποι τις ὡραῖόν ἐστι τόδε τὸ σῶμα ὡς ψυχή. Οὐ δεῖ δὲ θαυμάζειν, εἰ διὰ τῶν αἰσθητῶν ξύλων ἀθανασία τοῖς ἀνθρώποις ἐγένετο καὶ γνῶσις καλοῦ καὶ πονηροῦ, ὁπότε καὶ διὰ τοῦ αἰσθητοῦ ὕδατος ἄφεσις ἁμαρτιῶν γίνεται, καὶ ἄρτος αἰσθητὸς καὶ οἶνος ἁγιάζει τοὺς μεταλαμβάνοντας αὐτῶν. Ἴδοι δέ τις καὶ αἰσθητοῦ φαρμάκου, εἰ καὶ μὴ ζωήν, ἀλλὰ θάνατον ἐγγενόμενον. Ὅθεν οὐκ ἀπιστήτω τις καὶ ζωῆς αἰσθητῆς ὑπῆρχθαι τὸ ξύλον ποτέ, οὗ διὰ τὴν παράβασιν μεταλαβεῖν οὐκ ἠξιώθησαν. Ὥσπερ δὲ θανάτου εἰσὶ τρόποι δύο, ὁ μὲν ψυχῆς ὁ δὲ σώματος, οὕτω καὶ ζωῆς ὁμοίως. Καὶ τάχα τὸ μὲν νοητὸν ξύλον τῆς ζωῆς

[6]) σχόλιον ἐν τῇ ᾤᾳ: ἰστέον ὅτι ὁ Ἀκάκιος οὗτος Ἀρειανός ἐστιν, εἰπερ τῆς ἐν Παλαιστίνῃ Καισαρείας ἐπίσκοπός ἐστι· διὸ οὐδὲ πολυπραγμονεῖται τὰ ἐνταῦθα. [14]) ἐν τῇ ᾤᾳ: Ἀκακίου Καισαρείας.

Ε.Υ.Δ.Φ.Σ. τ.ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

τῇ ψυχῇ τὴν ἀθανασίαν παρέχει, τὸ δὲ αἰσθητὸν τῷ σώματι». Ἀλλ' ὅτι διὰ τὸν θάνατον ἡ γαμικὴ συνεχωρήθη συνάφεια, ἐναντία οὖσα τῆς ἀγγελοπρεποῦς καὶ θείας ζωῆς, καὶ αὐτὸς ὁ Χριστὸς μαρτυρεῖ λέγων. «Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται· οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται· οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγελοι γάρ εἰσι καὶ υἱοὶ Θεοῦ, τῆς ἀναστάσεως || υἱοὶ f 193r
ὄντες». Οὐχὶ δὲ καὶ ἀναγκαία ὡς ἡ βρῶσις, μάρτυς ἡ θεία Γραφή. Τῶν γὰρ λοιπῶν ζῴων ἑκάστου γένους κατὰ συζυγίαν παραχθέντος ἐξ ἀρχῆς, μόνος ὁ ἄνθρωπος παρήχθη. Ὅτι δὲ καὶ ἐνεδέχετο καὶ ἄνευ συναφείας ἄρρενός τε καὶ θήλεος εἰς ἐπίδοσιν προελθεῖν τὸ ἀνθρώπινον γένος, παρήγαγεν ὁ Θεὸς ἐκ τοῦ ἀνδρὸς τὴν γυναῖκα, ἅμα μὲν ἵνα δείξῃ τὴν δύναμιν αὐτοῦ, καὶ μᾶλλον ὅτι ἄλλο εἶδος τῆς γυναικὸς ἐξ ἑτέρου εἴδους τοῦ ἀνδρός, ἅμα δὲ καὶ τὸν ἄνθρωπον κριτήν τε καὶ προαιρετικὸν ἑκατέρου τιθείς, τοῦ τε γάμου καὶ τῆς ἀγαμίας. Ἀμέλει καὶ αὐτὸς εἰς τὸν ἡμέτερον βίον προελθεῖν εὐδοκήσας ἐκ παρθένου προῆλθε τοὐναντίον ἀνὴρ ἐκ γυναικός, πάντα μὲν τὰ ἀνθρώπινα καταδεξάμενος, τά τε πρὸ τῆς παραβάσεως καὶ μετὰ τὴν παράβασιν βεβαιωθέντα, οὐ μὴν δὲ καὶ τὸν γάμον, ὡς οὐκ ὄντα πρὸς τῆς παραβάσεως, τῆς ἐντολῆς λέγω οὐδ' ἀναγκαῖον, διὰ γὰρ τὴν ἀκρασίαν τινῶν συγκεχώρηται, ὡς ὁ Ἀπόστολος παριστᾷ. Πῶς οὐ γελοῖον τὸ φάσκειν, ὅτι Θεὸς τῷ Ἀδὰμ ἐν τῷ παραδείσῳ τὴν γνῶσιν ἐδίδου, ὧν ἐχρῆν αὐτὸν ξύλων ἐξελθόντα μετὰ ταῦτα ἐσθίειν, τῆς Γραφῆς λεγούσης «ἀπὸ πάντων τῶν ξύλων τῶν ἐν τῷ παραδείσῳ», πῶς δὲ καὶ ἔφαγε πρὸ τοῦ ἐξελθεῖν ;

κα) Ὅτι καὶ μάρτυρα τὸν σοφώτατον εἰς ταῦτα ἤγαγες Ψελλόν, οὐκ εἰδὼς ὅτι μαθηματικὸς ὢν ὁ ἀνὴρ μαθηματικῶς καὶ ἀποδεικνύει. Ἐλέγχεται δ' οὖν ὅμως καὶ οὗτος μάρτυρα Γρηγόριον ἄγων, εἶτα φάσκων ὡς ὅτι ἀναγκαῖον ταῦτα εἶπεν ὁ Θεολόγος καὶ ὡς ἐπιδιστάζων. Εἰ δὲ καὶ τῷ ἁγίῳ Μαξίμῳ καί τισιν ἑτέροις Πατράσι πρόσχοις, ἀλληγοροῦσι παλαιὰν καὶ νέαν Γραφήν, τί ἔχεις εἰπεῖν ἢ πάντως πείσῃ ὅπερ καὶ ὥντινων κατηγορεῖ ὁ μέγας Βασίλειος ἔπαθον. Ἀλλ' ἔγωγε τοῦ θαυμασίου Ψελλοῦ πῶς οὐκ ἂν θαυμάσαιμι, τὸ ξύλον ἀσωματοῦντος, ὥσπερ καὶ οὗτος τῶν τὴν γνῶσιν ἀποδενδρούντων, ὅστις τὴν μεσότητα ἀγνοῶν ἔλαθεν εἰς παντελῆ φθορὰν τὸν Ἀδὰμ πρὸ τῆς παραβάσεως ἀγαγών, ἱδρῶτας αὐτῷ προσάπτων καὶ φθύην καὶ ἀνατροπὴν

¹) Δουκ. 20, 34—36.

Ε.Υ.Δ.Δ.Σ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

παντελῆ τῆς φύσεως, ἀσυνήθεις τέ τινας ἡμῖν ἀλληγορίας προήνεγκε ||
193v καὶ ξύλον σοφίας ὠνόμασεν ἀλλοκότως καὶ τὸ μέσον τοῦ παραδείσου διὰ κύκλου καὶ κέντρου βούλεται ἀποδεῖξαι ἀμαθῶς ὁ πολυμαθής; Ὥσπερ δῆτα καὶ ἐπὶ τῶν ἀγγέλων ἄλλοτ' ἐποίησεν, ἐλάττονας ἀποδείξας τῶν ἀνθρώπων, κέντρῳ περιγραπτῶς πως τῇ ἀπεριγράπτῳ καὶ ἀοράτῳ θείᾳ οὐσίᾳ χρησάμενος. Ἡμεῖς δὲ ἐκ τῆς θείας Γραφῆς μανθάνομεν, ὡς ἐνδέχεται οὐκ ἐφ' ἑνὶ μόνῳ, ἀλλὰ καὶ ἐπὶ δυσὶ καὶ πλείοσιν ἅμα τὸ μέσον λαμβάνειν· φησὶ γὰρ «οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης», μέσον ἴσως καὶ τὸ ἐντὸς δηλῶν. Ἔνεστι δέ νοῆσαι καὶ ὅτι ἓν καὶ ταὐτόν ἐστι τό τε τῆς ζωῆς ξύλον καὶ τὸ τῆς γνώσεως, ἐκ τοῦ τὴν Εὔαν ἐρωτηθεῖσαν ὑπὸ τοῦ ὄφεως ἀδιορίστως περὶ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου ἀποκριθῆναι, μὴ μέντοι προσθεῖναι ζωῆς ἢ γνώσεως, ὡς τοῦ ἑνὸς δυσὶν ἐπωνυμίαις ὀνομαζομένου. Ἀλλ' ὁ μὲν συγγραφεὺς ἐκ τοῦ ἀποβησομένου τὴν προσηγορίαν αὐτῷ ἐπέθηκεν, ὁ δὲ Θεὸς εἰς προσοχὴν κηδόμενος τῶν πρωτοπλάστων γνώσεως ξύλον ὠνόμασεν, ὅπως μὴ μετὰ ταῦτα συναρπαγῶσι τῷ ἀπατῶντι, γνῶσιν καλοῦ τε καὶ πονηροῦ γευσαμένοις τούτου ὑποσχομένῳ. Θεωρίαν δὲ ὁ Γρηγόριος τὸ φυτὸν ἐκάλεσεν, ὡς ἔχων τινὰ θεωρίαν, ἤγουν γνῶσιν, ὥσπερ καὶ σάρκα τὸν κατὰ σάρκα περιπατοῦντα, πνεῦμα δὲ τὸν κατὰ πνεῦμα. Ἐπεὶ εἰ μὴ οὕτως, οὐκ ἂν ξύλον ὅλως ὠνόμασεν, οὐδ' ἄν, ἐναντιούμενος ἑαυτῷ, βρώσεως αἰσθητῆς ἐμνήσθη, ὡς καὶ λέλεκται καὶ ἤδη ῥηθήσεται. Φησὶ γὰρ δι' ἡρωελεγείων ἐν τῷ περὶ εὐτελείας τοῦ ἐκτὸς ἀνθρώπου, «ποῦ μοι πρωτογόνοιο κλέος, ὤλετ' ἐδωδῇ». Καὶ ἐν τῷ περὶ γυναικῶν καλλωπιζομένων· «οὐκ ἀΐεις καὶ πρόσθετεὸν πατέρα ὡς ἀπάτησεν ἀνδροφόνοιο φυτοῦ εὔχροος ἀγλαΐη.» Καὶ ἐν τῷ προοιμίῳ τοῦ εἰς τὸ σωτήριον πάθος τοῦ Χριστοῦ δράματος.

Εἴθ' ὤφελ' ἐν λειμῶνι μηδ' ἕρπειν ὄφις,
Μηδ' ἐν νάπαισι τοῦδ' ὑφεδρεύειν δράκων,
Ἀγκυλομήτης! Οὐ γὰρ ἐκ πλευρᾶς φῦμα,
Μήτηρ γένους δύστηνος ἠπατημένη,
Τόλμημα τολμᾶν παντότολμον ἀνέτλη,
Ἔρνους ἔρωτι θυμὸν ἐκπεπληγμένη,
Οὐδ' ἂν φαγεῖν πείσασα καρποῦ τὸν πόσιν».

Τοῦ αὐτοῦ σκοποῦ ἂν εἴη καὶ τὸ εἰρημένον παρά τε αὐτῷ καὶ τῷ

[23]) ἐν τῇ φφ : Γρηγορίου. [28]) Migne PG. 38, 137.

Ε.Υ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μακαρίῳ τῷ Ἀνδρέᾳ Κρήτης ἐν τοῖς πανηγυρικοῖς, «ὡραῖος ἦν εἰς ὅρασιν καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας καρπὸς» καὶ τὰ ἑξῆς. Εἰ γὰρ θεωρία τὸ φυτὸν αὐτό, ὁ καρπὸς τῆς θεωρίας τις, ἐπειδὴ ἐξ αὐτοῦ ἐγεύσαντο. || Ἀλλ' ἐπείπερ σοφιστὰς ἡμῖν παράγεις μάρτυρας, f 194r οὐκ ἀμοιρήσομεν καὶ ἡμεῖς σοφιστὰς οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς εἰς ἄκρον τήν τε θείαν Γραφὴν καὶ τοὺς ταύτην ἐξηγησαμένους θείους Πατέρας καλῶς ἐπισταμένους, οἷος ὁ Γαζαῖος Προκόπιος, σοφῶς τὰς εἰς τὴν Ὀκτάτευχον ἁπάντων ἐξηγήσεις εἰς ἓν ἐξυφάνας σύνταγμα· φησὶν οὖν. «Ἀλλ' ἐπὶ τούτοις ζητητέον, εἰ ἄφθαρτος ἦν ὁ Ἀδάμ, πῶς ὑπεδέξατο τοῦτον φθορά; εἰ δὲ φθαρτός, τί πλέον ἀπὸ τῆς ἀποφάσεως λεγούσης «ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε», οὐ τῇ ἐπισκευαστῇ τροφῇ ἀθανατισθῆναι δέ; Ἄφθαρτος μὲν οὖν ὁ γηγενὴς οὐκ ἐπλάσθη· οὐ γὰρ ἄφθαρτον τὸ ἀφ' οὗ πέπλασται· μετὰ δὲ τὴν πλάσιν «ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Ἔσχε τοίνυν ἄφθαρτον μὲν τὴν ψυχήν, φθειρόμενον δὲ τὸ σῶμα. Ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ σώματος πλάσιν ἔσχε δυναμένην ἀθανατίζεσθαι δι' αὐτεξουσιότητος τῶν καλῶν ἐπισκευαστῇ τροφῇ. Μεσότητος γὰρ εἶχεν ἡ πλάσις θνητότητος δυναμένης ἀθανατίζεσθαι. Ὡς καὶ νῦν ἐφ' ἡμῶν μεσότης τοῦ σπειρομένου μὲν ἐν φθορᾷ, ἐγειρομένου δὲ ἐν ἀφθαρσίᾳ. Οὐχ ἡ ἀφθαρσία τοίνυν ὑπέπεσε τῇ φθορᾷ, ὡς ἐξ ἐναντίας ἐλπίζομεν τὴν σπειρομένην ἐν φθορᾷ ἐγείρεσθαι ἐν ἀφθαρσίᾳ· ἀλλὰ τὸ δυνάμενον ἐπισκευασταῖς ἀθανατισθῆναι τροφαῖς, εἰ τὴν ἐντολὴν ἐτήρησε, τοῦτο μὴ τηρησάντων αὐτὴν τῶν τοιῶνδε τροφῶν καὶ τῆς ἐξ αὐτῶν ἀθανασίας ἐκπέπτωκεν. Ἐπεὶ καὶ τῶν ἔξω τινὲς τὸν κόσμον φθαρτὸν φασὶ μέν, || οὐ μὴν φθαρησόμενον. Ἐξεκρούσθη οὖν ἐκ τῆς ἀποφάσεως f 194v τοῦ παραδείσου, ὃς οὐ δέχεται τοὺς ἀποθνήσκοντας, ἀλλὰ τοὺς ζῶντας. Εἰ γὰρ μὴ ἔφαγεν, ἠδύνατο μὴ ἀποθανεῖν· φύσει μὲν οὐκ ὢν ἀθάνατος, ἐπισκευαστὴν δὲ ἀθανασίαν δευτέρῳ λόγῳ καρπούμενος. Οὐχ ἡ ἀπόφασις δὲ τὸ ἀποθανεῖν πεποίηκεν· οὐδὲ γὰρ ἀπόφασις τὸ προειπεῖν τὸ ἑπόμενον πρὸς τὴν αἵρεσιν ἢ τὴν ἀπεκλογήν, ἀλλ' ἀσφαλοῦς προσοχῆς ἐπαγγελία, προαγόρευσις δὲ τοῦ ἀκολουθήσαντος τῷ παραβαίνοντι. Οὐδὲ γὰρ τῶν ἰατρῶν τὰ προφυλακτικὰ παραγγέλματα ἀπόφασις τοῦ νοσεῖν ἢ τελευτᾶν, ἀλλὰ προαγόρευσις· ὁ δὲ μὴ φυλάξας ἐκ ῥαθυμίας, τοῦ τελευτήσαντος αἴτιος. Οὐδὲ γὰρ αἱ τῶν προφητῶν προρρήσεις ποιητικὰ τῆς αἰχμαλωσίας. Οὔκουν οὐκ αἴτιος θανάτου

[9]) Ἑρμ. εἰς Γέν. Migne PG. 87α, 216—217. ἐν τῇ φᾳ: Προκοπίου.

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ὁ Θεός· εἰσελθόντα δὲ φθόνῳ διαβόλου μετασκευάζει πρὸς ζωὴν αἰώνιον, ἀνάστασιν νεκρῶν ὑποσχόμενος καὶ δείξας δευτέραν ταύτην ἀθανασίαν διὰ δευτέρου ξύλου σταυροῦ καὶ θανάτου τοῦ δευτέρου Ἀδὰμ μηχανώμενος. Ἐπεὶ γὰρ διὰ ξύλου θάνατος, διὰ ξύλου καὶ ζωή».

κβ) Ὅτι παράδεισον αὐτόχρημα ὑπολαμβάνεις τὴν Παρθένον, ζωῆς δὲ ξύλον τὸν Χριστόν, ἄλλοτε δὲ ξύλον μὲν αὐτήν, τοῦτον δὲ καρπόν. Καὶ γὰρ εἰ μὲν εἶναί τι ξύλον πρωτοτύπως ὑπολάβοιμεν, ἐφ' ὃ παραδειγματικῶς τόν τε Χριστὸν καὶ τὴν τοῦτον τεκοῦσαν ἀνάγοιμεν, τοῖς ἐμοῖς καὶ αὐτὸς ἕπῃ. Εἰ δὲ οὐ τοῦτο, λείπεται οὐσιωδῶς καὶ αὐτόχρημα εἶναι κατὰ σὲ τὴν μὲν Παρθένον, πρὸς οἷς εἰρήκαμεν, f 195r καὶ οὐρανὸν καὶ κλίμακα καὶ τράπεζαν καὶ σκηνὴν καὶ κιβωτὸν || καὶ στάμνον καὶ βάτον καὶ ῥάβδον καὶ ὅσα τοιαῦτα, οἷς παρὰ τοῖς ποιηταῖς ὕμνηται· τὸν δὲ Χριστὸν αὖθις ἥλιον, πῦρ, ἀστραπήν, μαργαρίτην, ἄρτον, ἄνθος, λίθον· μὴ εἶναι δὲ πρὸ τούτων μήτε κιβωτόν, μήτε ῥάβδον, μήτε λίθον, μήτε μαργαρίτην. Ἀλλ' ὅταν τι τῶν τοιούτων ἀκούσωμεν, τόν τε Χριστὸν καὶ τὴν Παρθένον ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἄλλως ἢ καὶ καθ' ἕκαστα γινομένους, ὅπερ οὐκ εὐσεβὲς καὶ τοῖς τῶν ἁγίων Πατέρων καὶ μᾶλλον τῆς Οἰκουμενικῆς ἑβδόμης Συνόδου θεσπίσμασιν ἐναντίον. Θαυμάζω δὲ πῶς οὐχὶ καὶ τὸν σταυρὸν ἠλληγόρησας· καὶ γὰρ παρὰ τοῖς αὐτοῖς ποιηταῖς ἀναλόγως καὶ οὗτος ξύλον ὠνόμασται, οἷον «διὰ ξύλου ὁ Ἀδὰμ παραδείσου γέγονεν ἄποικος· διὰ ξύλου δὲ σταυροῦ ὁ λῃστὴς παράδεισον ᾤκησεν· ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος· ὁ δὲ συσταυρούμενος Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον». Καὶ πολλὰ τοιαῦτα εἶχον εἰπεῖν, ὥσπερ δῆτα καὶ περὶ τῆς καταστάσεως τοῦ Ἀδάμ· «ὁ τῇ χειρί σου πλάσας τὸν Ἀδὰμ καὶ στήσας μεθόριον ἀφθαρσίας καὶ θνητότητος, Σωτήρ, καὶ τῆς ἐν χάριτι ζωῆς». Καὶ πάλιν, «κατακοσμήσας τὰ πάντα ζῷον μικτόν, μέσον με τὸν ἄνθρωπον ταπεινότητος ὁμοῦ καὶ μεγέθους ἔπλασας, Σωτήρ». Ἀλλ' οὐκ ἠβουλήθην στιχηροῖς καὶ τροπαρίοις μάρτυσι χρήσασθαι. Τούτοις γὰρ ἐχρεῖτο Διονύσιος. Ἐπεὶ ταῦτα διὰ μέλος μᾶλλον ἢ δόγμα καὶ διδασκαλίαν ἐτάχθησαν ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ καὶ τὸ μαρτυρικοῖς χρῆσθαι λογίοις εἰς πίστιν, καὶ τοῦτο παρὰ τὴν συνήθειαν· οὐχ ὡς ψευδέσι, ἀλλ' ἐπειδὴ οὐ παρὰ τῶν μαρτύρων, παρὰ δὲ τῶν ἀκουσάντων ἐγράφησαν ὡς ἔτυχεν.

20) ἐν τῇ φᾳ : ἐκ τῶν ποιητῶν. 21) Τριῴδιον, Ἀθῆναι 1901 σ. 407.
27) Πεντηκοστάριον, Ἀθῆναι 1902 σ. 200.

7) ὑπολάβομεν A 8) ἀνάγομεν A 16) ἀκούσαιμεν A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κγ) Ὅτι ξύλον ζωῆς οὐδὲν ἄλλο, εἰ μὴ ὁ Χριστὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὅπως καὶ ἐφαίνετο τῷ Ἀδὰμ ὑψίκομον, ἀφικνούμενον ἕως τοῦ οὐρανοῦ. Οὕτω μὲν οὖν ταῦτά σου καὶ τὰ ἑξῆς ἀλόγιστα. Καὶ ὅρα ὅπως ὅπερ ἀπεστρέφου δῆθεν, ὁμολογεῖς τὸ ἀποδενδροῦν τὸν Θεόν, μὴ γινώσκων ὅτι ὁ Χριστὸς μυστικῶς λέγεται ξύλον, οὐ τὸ ξύλον Χριστός. Οὐχ οὕτω δὲ εἶχε τὴν ἀθανασίαν ὁ Ἀδὰμ ὡς ὁ Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, ὡς σὺ νομίζεις, εἰ καὶ τὸ αὐτὸ σχῆμα.

κδ) Ὅτι καὶ ἑτέραν ἑρμηνείαν ἤνεγκας εἰς τὸ «ὁ πρῶτος ἄνθρω- f 195v πος ἐκ γῆς χοϊκός». Αὕτη δὲ οὐκ ἐναντιοῦται ἡμῖν. Προσεκτέον δ' οὖν, ὅτι οὐκ εἶπεν ὁ Ἀπόστολος ἐκ παραδείσου χοϊκός, ἀλλ' ἐκ γῆς.

κε) Ὅτι ὁ παράδεισος ὑπερφέρει τῆς λοιπῆς κτίσεως. Καὶ τίς ὁ ἐναντιούμενος διὰ τὴν γῆν;

κϛ) Ὅτι εἰ φθαρτὸς ἦν ὁ παράδεισος καὶ ἀλλοίωσιν ἂν τῷ χρόνῳ ἐδέχετο. Γνῶθι οὖν, ὅτι καὶ τὸ στερέωμα φθαρτὸν καὶ ἡ γῆ, ἀλλ' οὐκ ἀλλοιοῦνται μέχρι συντελείας.

κζ) Ὅτι οἱ μὲν πνευματικῶς τὰ περὶ τοῦ παραδείσου ἐθεώρησαν, οἱ δὲ μετ' ἐκείνους αἰσθητῶς, οἱ δὲ μέσην τάξιν ἐβάδισαν. Εὖ ἴσθι ὅτι καὶ ἡμεῖς ταύτην τὴν μέσην βαδίζομεν, ἑπόμενοι τοῖς, ὡς φής, οἰκονομήσασι τὸν λόγον αὐτῶν ἐν κρίσει, ἤτοι Βασιλείῳ, Γρηγορίῳ, Ἰωάννῃ, Ἀθανασίῳ, Κυρίλλῳ, Θεοδωρήτῳ ἐπισκόποις, τῷ τε Δαμασκηνῷ Ἰωάννῃ καὶ τοῖς τοιούτοις ἁγίοις Πατράσιν, ὁμοῦ καὶ τὴν Γραφὴν σῴζοντες καὶ οὐδὲ πάλιν ἐπιμένοντες τῷ γράμματι. Εἰ οὖν ἅπασα ἡ θεία Γραφὴ καὶ τοσούτων ἁγίων Πατέρων χορὸς παραπαίει, καὶ ἡμεῖς τούτοις συμπαραπαίομεν.

κη) Ὅτι ἔξω τῆς τῶν ἡμερῶν ἑβδομάδος, ὀγδόῃ δὲ ἡμέρᾳ φὴς γενέσθαι τὸν παράδεισον, ἀθετῶν τὴν Γραφὴν λέγουσαν «καὶ ἐγένετο ἑσπέρας καὶ ἐγένετο πρωῒ ἡμέρα ἕκτη. Καὶ συνετελέσθησαν ὅ τε οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε. Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιῆσαι». Παράγεις δὲ μάρτυρα τῆς σῆς δόξης Μάξιμον, ἀγνοῶν ὅλως τὰ τοῦ ἁγίου. Καὶ γὰρ οὗτος πρῶτον ζητεῖ τίνα καθήκει νοεῖν εἶναι τὰ ἔργα, ὧν ἤρξατο || τῆς γενέσεως ὁ Θεός, καὶ τίνα πάλιν ὧν οὐκ f 196r ἤρξατο· εἶτα διαπορούμενος μᾶλλον ἢ ὁριζόμενος φησίν· «ἠργμένα μὲν ἔργα εἶναι τὰ μετέχοντα, ἀφ' ὧν οὐ κατέπαυσεν, οἷον ἀθανασία, ἀγαθότης καὶ ἁπλότης καὶ ἀτρεψία καὶ τὰ τοιαῦτα». Ὁ δὲ Χρυσό-

26) Γεν. 1,31. ἐν τῇ ᾦᾳ : Γενέσεως. 34) ἐν τῇ ᾦᾳ : Μαξίμου.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στομος Ἰωάννης ὁριζόμενος περὶ τούτων, τάδε φησίν. «Ἐνταῦθα γὰρ εἰποῦσα ἡ Γραφή, ὅτι «κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ», διδάσκει ἡμᾶς, ὅτι τοῦ δημιουργεῖν καὶ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν ἐπαύσατο κατὰ τὴν ἕκτην ἡμέραν. Ὁ δὲ Χριστὸς λέγων, ὅτι «ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι», τὴν διηνεκῆ αὐτοῦ πρόνοιαν ἡμῖν παραδηλοῖ καὶ ἐργασίαν λέγει τὸ διακρατεῖν τὰ γεγενημένα καὶ τὴν διαμονὴν αὐτῶν χαρίζεσθαι καὶ ἡνιοχεῖν τὸν σύμπαντα χρόνον». Ὁ δέ γε Ἀθανάσιος ἀρχὴν τῆς δευτέρας κτίσεως νομίζει, καθ' ἣν ἀνέστη ὁ Κύριος. Ἔκτοτε γάρ φησιν, ἀρχὴν ἔσχεν ἡ καινὴ κτίσις. Τὰ παραπλήσια καὶ Προκόπιος καὶ Φώτιος καὶ ἄλλοι τινὲς τῶν διδασκάλων φάσκουσι. Πεπαυμένα μὲν ἔργα νοοῦνται τὰ ἐκ μὴ ὄντος, τὰ καὶ μετέχοντα κατὰ τὸν ἅγιον Μάξιμον, οὐ πεπαυμένα δὲ τὴν ὡσαύτως ἐσαεὶ τούτων διαμονὴν παρὰ τοῦ κτίσαντος. Ἀλλὰ καὶ τὸ εἰπεῖν τὴν θείαν Γραφήν, ὅτι «συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν» σαφῶς παριστᾷ, ὅτι οὐδὲν τῶν κτισμάτων, οὐ μόνον ἐκτὸς τῆς ἑβδομάδος, ἀλλ' οὐδ' ἔξω τῆς ἕκτης ἐγένετο. Εἰ γὰρ συνετελέσθησαν, ἤτοι ἐπληρώθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν, ἤτοι τὰ ἐν αὐτοῖς, τί ἔτι λέλειπται ; Ὁ δέ γε Γρηγόριος ὁ Θεολόγος καὶ ὁ Χρυσόστομος Ἰωάννης ἐννοεῖν διδόασιν, || ὅτι πρότερον ὁ παράδεισος ἐδημιουργήθη, εἶτα ὁ ἄνθρωπος, f 196v ὁ μὲν λέγων οὕτος· «εἰ δὲ καὶ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη, καὶ ταῦτα χειρὶ Θεοῦ καὶ εἰκόνι τετιμημένος θαυμαστὸν οὐδέν. Ἔδει γὰρ ὡς βασιλεῖ προϋποστῆναι τὰ βασίλεια, καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα πᾶσιν ἤδη δορυφορούμενον». Ὁ δὲ ἐν τῇ τῆς ἑξαημέρου ἐξηγήσει οὕτω. «Καθάπερ βασιλέως μέλλοντος εἰς πόλιν εἰσελαύνειν, τοὺς δορυφόρους ἀνάγκη προηγεῖσθαι καὶ τοὺς ἄλλους ἅπαντας, ἵνα εὐτρεπισμένων τῶν βασιλείων, οὕτως ὁ βασιλεὺς εἰς τὰ βασίλεια παραγένηται, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, καθάπερ βασιλέα τινὰ καὶ ἄρχοντα μέλλων ἐφιστᾶναι πᾶσι τοῖς ἐπὶ γῆς, πᾶσαν ταύτην τὴν διακόσμησιν πρότερον ἐτεκτήνατο καὶ τότε τὸν μέλλοντα ἐφίστασθαι παρήγαγεν». Ὡσαύτως τε καὶ ὁ Νύσσης Γρηγόριος ἐν τῷ κεφαλαίῳ τῷ διατὶ τελευταῖος μετὰ τὴν κτίσιν ὁ ἄνθρωπος, φάσκων οὕτως. «Οὐδὲ γὰρ ἦν εἰκὸς τὸν ἄρχοντα πρὸ τῶν ἀρχομένων ἀναφανῆναι, ἀλλὰ τῆς ἀρχῆς πρότερον ἑτοιμασθείσης, ἀκόλουθον ἀναδειχθῆναι τὸν βασιλεύ-

1) ἐν τῇ φα : Χρυσοστόμου. 21) ἐν τῇ φα : Γρηγορίου τοῦ Θεολόγου. 25) Εἰς Γεν. Ὁμιλ. VIII, παρὰ Migne PG. 53,71. ἐν τῇ φα : τοῦ Χρυσοστόμου. 32) ἐν τῇ φα : τοῦ Νύσσης.

Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

σοντα». Καὶ ταῦτα μὲν οὗτοι. Ἡ δὲ ἁγία Γραφὴ τἀναντία ἔοικε παριστᾶν λέγουσα. «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε. Καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν· || καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, f 197r
καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Καὶ μετά τινα. «Καὶ εἶπεν ὁ Θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν. Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά, καὶ πᾶν ὃ ἐκάλεσεν αὐτῷ ὁ Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ». Εἰδέναι δὲ χρή, ὅτι τὰ μετὰ τὴν πλάσιν τοῦ ἀνθρώπου ἐπανάληψίς ἐστι καὶ ἐξ ἀνάγκης ἐλέχθη τά τε περί τοῦ παραδείσου καὶ τῶν λοιπῶν ζῴων, ἵνα δείξῃ ἡ ἁγία Γραφή, ὅτι διὰ τὸν ἄνθρωπον πάντα ταῦτα ἐγένοντο. Καὶ τούτῳ χρησάμενοι τῷ σκοπῷ οἱ θεῖοι Πατέρες ὕστατον πάντων τῶν δημιουργημάτων ἀπεφήναντο τὸν ἄνθρωπον· ἴσως δὲ καὶ ἐξ ἑτέρων βιβλίων ἢ παραδόσεων τοῦτο ἔλαβον ἀποστολικῶν. Καὶ γάρ καὶ περὶ τῶν ἀγγέλων οὐκ ἀπεφήνατο ἡ θεία Γραφὴ πότε ἐγένοντο. Ἀλλ᾽ οὖν ἐν τῷ περὶ ἱερᾶς μυσταγωγίας τῶν ἁγίων Ἀποστόλων καὶ τοῦτο ἔγκειται οὕτως ἐν τῇ ἀρχῇ τῆς εὐχῆς. «Ὁ Θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς σου Υἱοῦ, ὁ δι᾽ αὐτοῦ πρὸ πάντων ποιήσας τὰ Χερουβεὶμ καὶ τὰ Σεραφείμ». Ἐξ οὗ καὶ ὑπολαμβάνω τὸν Θεολόγον Γρηγόριον τὴν ἀφορμὴν λαβεῖν καὶ νοῆσαι, ὅτι πρὸ τῆς γῆς καὶ τοῦ οὐρανοῦ ἐδημιουργήθησαν οἱ ἄγγελοι. Κατὰ Ὠριγένους δὲ Διονύσιος Ἀλεξανδρείας γράφων φησίν. «Ἐὰν δὲ τὸν παράδεισον μὴ τοῦ κόσμου μέρος εἶναι λέγεις μηδὲ ἐν αὐτῷ γεγονέναι, μηδὲ σὺν τοῖς ἄλλοις καὶ περὶ αὐτοῦ τὸ κατέπαυσεν ὁ Θεὸς γεγράφθαι, ἀλλ᾽ ὑπερ || κόσμιον χωρίον, πῶς τὸν f 197v
γήϊνον ἐκεῖ καὶ πλαστὸν ἄνθρωπον εἰσήγαγε; Πῶς δὲ ἐκεῖ ἔπλασεν ἔτι ἐκ τῆς γῆς ὁ Θεὸς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅπου τὸν ἄνθρωπον καὶ τὴν γυναῖκα, καὶ ἤγαγεν αὐτὰ πρὸς αὐτὸν ἰδεῖν τί καλέσει αὐτά; Ποῦ τὸ θανατηφόρον ξύλον καὶ ὁ ἀπατεὼν ὄφις ἐκεῖ;» Ἐντεῦθεν οὖν σκοπεῖν ἔξεστιν ὅτι καὶ περὶ τοῦ παραδείσου εἴρηται τὸ κατέπαυσεν. Ἐπεὶ εἰ μετὰ τὴν ἑβδόμην, ὡς λέγεις,

[2]) Γεν. 2, 7–9. [9]) αὐτ. 13–19. [27]) ἐν τῇ φα: Διονυσίου Ἀλεξανδρείας.

Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐγένετο, ποῦ ἄρα ταῖς δυσὶν ἡμέραις ὁ Ἀδὰμ προδιητᾶτο; Ὁ δὲ προαχθείς σοι ἅγιος Ἐπιφάνιος σκόπει ὅτι οὐδὲν ἐκτὸς τῆς θείας Γραφῆς ἀποφαίνεται, ὃν ἔδει καὶ σὲ μιμεῖσθαι.

κθ) Ὅτι ἐπλάσθη ὁ Ἀδὰμ σῶμα μὲν ἔχων ἄφθαρτον καὶ ὅλον οὔπω πνευματικόν. Τοῦτο καὶ ἡμεῖς ὁμολογοῦμεν καὶ mataία λοιπὸν ἡ σὴ ἔνστασις.

Ἀλλ' οὕτω μὲν παλαιάν τε καὶ νέαν Γραφὴν καὶ καθ' ἑξῆς τοὺς τῶν ἁγίων Πατέρων λόγους ἐρευνήσαντες περὶ τῆς τοῦ Ἀδὰμ καταστάσεως καὶ τῆς μελλούσης ἀποκαταστάσεως ἐν ταύτῃ καὶ τῇ πρὸ ταύτης ἐπιστολῇ σοι ἐξειλήφαμεν. Εἰ δὲ οὐχ ἀρκεῖ σοι ταῦτα εἰς πληροφορίαν ἢ ὅλως οὐ παραδέχῃ, ἐγώ σοι πᾶσαν ὑπόνοιαν ἐκβαλῶ ἤδη. Ὁμολογῶ κατὰ τὴν ἁγίαν Γραφὴν ὑπὸ τοῦ Θεοῦ πλασθῆναι τὸν Ἀδὰμ καὶ τεθεῖναι ἐν τῷ παραδείσῳ τῷ παρ' αὐτοῦ φυτουργηθέντι κατὰ ἀνατολάς, πάντων τε τῶν ἐν αὐτῷ φυτῶν τὴν ἐξουσίαν λαβεῖν εἰς βρῶσιν, ἑνὸς δὲ μόνου κωλυθῆναι, ἵνα ζῇ διὰ παντός· παραβάντα δὲ τὴν θείαν ἐντολὴν ἐξωσθῆναι τοῦ παραδείσου καὶ τεθνᾶναι καὶ εἰς τὴν γῆν,
f 198r ὅθεν || ἐλήφθη, ἐπιστραφῆναι τῷ σώματι, τὴν δὲ ψυχὴν αὐτοῦ ἐν τῷ Ἅδῃ ἀποτεθεῖναι. Ὃν καὶ οἰκτείρας ὁ Θεὸς αὖθις ἐν τῷ παραδείσῳ εἰσήγαγεν, ἀναγαγὼν ἐκ τοῦ Ἅδου τῇ τοῦ Υἱοῦ αὐτοῦ ἐνσάρκου οἰκονομίᾳ, ἐκδεχόμενον καὶ τὴν σωματικὴν ἐξανάστασιν, καὶ οὕτως ἐν οὐρανοῖς ἐσόμενον εἰς τὸ διηνεκὲς ἄφθαρτον καὶ ἀθάνατον μετὰ πάντων τῶν ἐξ αὐτοῦ ἁγίων, σὺν Χριστῷ τῷ Θεῷ καὶ τοῖς ἁγίοις ἀγγέλοις αὐτοῦ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## VI

## ΠΑΡΑΚΟΛΟΥΘΗΜΑΤΑ ΤΟΙΣ ΛΕΓΟΥΣΙΝ ΑΦΘΑΡΤΟΝ ΠΛΑΣΘΗΝΑΙ ΤΟΝ ΑΔΑΜ

α) Τὸ τὴν θείαν Γραφὴν διαβάλλειν καὶ ψευδῆ ἀποδεικνύειν, τούς f 198v τε ἁγίους Πατέρας διαφωνοῦντας.

β) Τὸ καὶ τοῖς δαίμοσιν ἐξ ἀνάγκης ἀνάκλησιν διδόναι, οἷς τὸ αἰώνιον πῦρ ἡτοίμασται.

γ) Τὸ τὴν κτίσιν μὴ πεφυκέναι οὐσιωδῶς.

δ) Τὸ κατὰ δόκησιν καὶ οἰκονομικῶς ἐσθίειν τοὺς γενάρχας.

ε) Τὸ τὸ τῆς ἐγκρατείας ἀποβάλλειν καλόν.

ϛ) Τὸ περιττὸν ἡγεῖσθαι τὸ τοῦ σταυροῦ μυστήριον.

ζ) Τὸ φθαρτὸν νῦν οἴεσθαι τὸν παράδεισον, ὡς ἐντεῦθεν μηδεμίαν ἀπόλαυσιν ἔχειν τὰς τῶν ἁγίων ψυχάς.

η) Τὸ διὰ βρώσεως ζῆν μετὰ τὴν παγκόσμιον ἀνάστασίν τε καὶ κρίσιν.

θ) Τὸ τὸν Θεὸν μεταβάλλειν τὰς φύσεις ἐκ τοῦ κρείττονος εἰς τὸ χεῖρον.

ι) Τὸ αἴτιον αὐτὸν τιθέναι τοῦ θανάτου.

ια) Τὸ καὶ χωρὶς τοῦ Θεοῦ δύνασθαι τὴν ἁμαρτίαν μεταβάλλειν τὰς φύσεις.

ιβ) Τὸ ἀφαιρεῖν τὸ τοῦ ἀνθρώπου αὐτεξούσιον.

---

## VII

## ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ

Ἐγὼ μὲν οὖν οὕτω ταύτην τὴν ἀνασκευαστικὴν ἐπιστολὴν σχεδιάσας f 198r ἅμα τῷ λαβεῖν με τὴν σὴν ἐβουλήθην ἀνταποστεῖλαι τῇ σῇ ὁσιότητι. Ἀλλ' ἐπέσχον ἐμαυτὸν τοῦ βουλήματος, ὑφορώμενος μή σε εἰς ἀθυμίαν ἐμβάλω, ἐπείπερ μοι ἐγεγράφεις τοῦ λοιποῦ μηκέτι δι' ἐπιστολῆς ὁμιλῆσαί σοι. Ἔνθεν τοι καὶ ἀφικόμενος πρὸς σὲ καὶ πολλὰ περὶ τοῦ προκειμένου ζητήματος προτείναντές τε καὶ συλλογισάμενοι ἀμφότεροι, μόλις πως συνῆλθές μοι, οὐ τὸ βιβλίον αἰτιώμενος, ἀλλὰ τὴν ἐπιστολήν. Ἦν γὰρ ἐν τῇ ἐπιστολῇ τόπερ ἐν ᾧ ἐδόκεις ἐπιλαμβάνεσθαί μου. Διὸ καὶ εἶπον τὴν ἀνὰ χεῖρας σᾶς ἐπιστολὴν διαρρῆξαι, καὶ οὕτω

1) Κῶδ. Ἀμβρ. 290 f. 198v  21) Κῶδ. Ἀμβρ. 290 f. 198r—v

25) ἐμβαλῶ A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κἂν τούτῳ συνελθόντες ἀπηλλάγημεν ἀλλήλων μετ᾽ εἰρήνης, μηκέτι περὶ τοῦ τοιούτου λαλήσαντες. Ἐπεὶ δὲ αὐτόθεν ἀποδημοῦντι ἀπήγγειλέ μοι τίς, ὅτι ἧς πρός με γραφῆς ἐπέστειλας τὰ ἀντίγραφα ἔχων τοῖς βουλομένοις παρέχεις εἰς ἀνάγνωσιν, καὶ οὕτως ἄρα τὰ προκαταβληθέντα συνίστης, μὴ ἔχων καιρὸν ὁπωσδήποτε ὁμιλῆσαί σοι, ἀρτίως ἐκκεχειρίας μικρᾶς λαβόμενος, ἀποστέλλω σοι τὰ προσχεδιασθέντα γράμ-
198v ματα, διεξοδικώτερον ἀπολογούμενος πρὸς ἅ μοι || ἐγκαλεῖς, ὅτι τῶν καθ᾽ ἡμᾶς Γραφῶν τε καὶ διδασκάλων ἅπαντα καὶ οὐδὲν ἐναντίον ἐντεῦθεν ἕπεται. Μᾶλλον δὲ ἐξ ὧν αὐτὸς φρονεῖς, πολλὰ τῆς ἁγίας Ἐκκλησίας ἀλλότρια· καὶ τοῦτο καὶ αὐτὸς γνώσει, εἴπερ εὐγνωμόνως καὶ ἐπεσκεμμένως διέλθῃς τὰ γράμματα. Εἰ δέ τι καὶ παρ᾽ ἡμῶν εἴτε ἐνταῦθα εἴτε καὶ ἀλλαχοῦ πεπλημμέληται, συγγνωστέον μὲν διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, κρίσις δὲ κρατείτω ἡ τῶν σοφωτέρων καὶ ἐνδοξοτέρων ἢ καὶ πλειόνων τῆς καθ᾽ ἡμᾶς Ἐκκλησίας ἁγίων ἀνδρῶν.

---

## VIII

## ΟΤΙ ΜΕΣΟΣ ΦΘΟΡΑΣ ΚΑΙ ΑΦΘΑΡΣΙΑΣ ΕΠΛΑΣΤΟΥΡΓΗΘΗ Ο ΑΔΑΜ ΚΑΙ ΔΙΑ ΒΡΩΣΕΩΣ ΦΘΑΡΤΟΣ ΓΕΓΟΝΕΝ

f 180r Παύλου. «Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται πνευματικόν· ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. Οὕτω καὶ γέγραπται, ἐγένετο ὁ πρῶτος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν, ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν».

Γρηγορίου Θεολόγου. «Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσαντος καὶ αὖθις συνδήσοντος ὑψηλότερον». Τοῦ αὐτοῦ. «Ἐκπεπτώκαμεν, ἐπειδὴ παρέβημεν· ἐνηστεύσαμεν, ἐπειδὴ μὴ ἐνηστεύσαμεν τοῦ ξύλου τῆς ζωῆς ὑποκρατηθέντες· ἀρχαία γὰρ ἦν ἡ ἐντολὴ καὶ ἡμῖν ὁμόχρονος, ψυχῆς τις οὖσα παιδαγωγία καὶ τρυφῆς σωφρόνισμα ἣν ἐπετάχθημεν εἰκότως, ἵν᾽ ὃ μὴ φυλάξαντες ἀποβεβλήκαμεν, φυλάξαντες ἀπολάβωμεν». Τοῦ αὐτοῦ ἐκ τῶν ἐπῶν. «Ποῦ μοι πρωτογόνοιο κλέος, ὤλετ᾽ ἐδωδῇ». Ἐκ τῶν αὐτῶν. «Οὐκ ἀΐεις καὶ πρόσθετεὸν πατέρα ὡς ἀπάτησεν ἀνδροφόνοιο φυτοῦ εὔχροος ἀγλαΐη». Ἐκ τοῦ δράματος τοῦ αὐτοῦ. «Εἴθ᾽ ὤφελ᾽ ἐν λει-

[15]) Κῶδ. Ἱεροσ. 344 f. 180r—182r [17]) Α΄ Κορ. 15,42 [22]) Migne PG 38,137

[2]) ἀποδημῶντι A [6]) ἐκεχειρίας A.

μῶνι μηδ' ἕρπειν ὄφις, μηδ' ἐν νάπαισι τοῦδ' ὑφεδρεύειν δράκων ἀγκυλομήτης! Οὐ γὰρ ἂν πλευρᾶς φῦμα, μήτηρ γένους δύστηνος ἠπατημένη, τόλμημα τολμᾶν παντότολμον ἀνέτλη, ἔρνους ἔρωτι θυμὸν ἐκπεπληγμένη».

Ἰωάννου τοῦ Χρυσοστόμου. «Ὅμως καὶ χωρὶς ἐνδυμάτων διέλαμπε τότε τὰ σώματα ἐκεῖνα. Ἀγαθὸς γὰρ ὢν ὁ Θεὸς βραχύ τι παρὰ τοὺς ἀγγέλους ἠλάττωσε τὸν ἄνθρωπον, ὡς ψάλλει Δαυίδ, καὶ δόξῃ καὶ τιμῇ ἐστεφάνωσεν αὐτόν. Μὴ γὰρ πρὸς τὴν νῦν εὐτέλειαν ὅρα, ἀλλὰ τὴν πρώτην φαντάζου κατάστασιν».

Τοῦ Δαμασκηνοῦ. «Οὐ γὰρ ἦν λυσιτελὲς ἀπείραστον ἔτι καὶ ἀδόκιμον ὄντα τὸν ἄνθρωπον τῆς ἀφθαρσίας τυχεῖν, ἵνα μὴ εἰς τύφον ἐμπέσῃ καὶ κρίμα τοῦ διαβόλου. Ἐκεῖνος γὰρ διὰ τὸ ἄφθαρτον μετὰ τὴν ἐκ προαιρέσεως ἔκπτωσιν τὴν ἐν τῷ κακῷ ἄτρεπτον ἔσχε καὶ ἀμετάβλητον παγιότητα, ὥσπερ αὖ πάλιν καὶ οἱ ἄγγελοι μετὰ τὴν ἐκ προαιρέσεως τῆς ἀρετῆς ἐκλογὴν τὴν ἐν || τῷ καλῷ διὰ τῆς χάριτος ἀμετακίνητον ἵδρυσιν. Ἔδει τοίνυν πρότερον δοκιμασθέντα τὸν ἄνθρωπον, f 180v ἀνὴρ γὰρ ἀπείραστος, ἀδόκιμος καὶ οὐδενὸς λόγου ἄξιος, καὶ τῇ πείρᾳ διὰ τῆς τηρήσεως τῆς ἐντολῆς τελειωθέντα οὕτω τὴν ἀφθαρσίαν ἀρετῆς κομίσασθαι ἔπαθλον».

Ἐκ τῶν ἀποκρίσεων Ἀναστασίου. «Ὥσπερ δύο Ἱερουσαλὴμ λέγει οὐράνιον καὶ ἐπίγειον, οὕτω καὶ δύο παραδείσους, ἕνα πνευματικὸν καὶ ἕτερον αἰσθητόν, ἐξ οὗ τὰ Νειλῷα ταῦτα καὶ Εὐφρατήσια ὕδατα ἐκπορεύονται ἐπὶ τῆς γῆς, ἔνθα ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ὁ ὄφις καὶ τὰ φυτά. Εἰ γὰρ τὸν ὄφιν καὶ τὰ φυτὰ καὶ τὰ ὕδατα ἀλληγορικῶς ἐκλάβοιμεν, πάντως που καὶ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν· καὶ ἀνατρέψομεν μᾶλλον δὲ ἀθετήσομεν τὴν θείαν Γραφήν. Ὥσπερ οὖν ὑπῆρχεν ὁ Ἀδὰμ μέσος φθορᾶς καὶ ἀφθαρσίας, τοιοῦτος ἦν καὶ ἔστιν ὁ παράδεισος».

Ἐκ τῶν τοῦ Φωτίου. «Φαμὲν ὡς ὁ Θεὸς ἐφύτευσε τὸν παράδεισον οὐ τὸν Ἀδὰμ ἐκεῖθεν μέλλων ἐλαύνειν· οὐδὲ γὰρ οὐδὲ ἔμελλεν, οὐδὲ ἔθετο σκοπὸν χερσὶ διαπλάττων τὸν Ἀδὰμ καὶ τὸν παράδεισον φυτουργῶν ὑπερόριον εὐθὺς ἐκεῖθεν ποιεῖν καὶ τῆς ἀφορισθείσης αὐτῷ μακαρίας διαγωγῆς. Ἀλλ' ἐκεῖνος τὸν νόμον τῆς ἐντολῆς εἰς ἀθέτησιν λύσας καὶ τὴν ἄλλην εὐφροσύνην εἰς λύπην μετήνεγκε καὶ τοῦ παραδείσου τὴν ἐκβολὴν προσήνεγκεν. Ἐπεὶ ὥσπερ θάνατον ὁ Θεὸς οὐκ ἐποίησεν, ἀλλ' ἐν ἀρραβῶνι τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐπλαστούρ-

[10]) Migne PG. 94, 977 [20]) Migne PG. 89, 540 [29]) Ἀμφιλόχια ἐρώτ. ΝΑ. Migne PG. 101, 381.

γησεν, οὕτως οὐδὲ τοῦ ἱεροῦ χωρίου, οὐδὲ τῆς μακαρίας αὐτὸν τρυφῆς ὑπερώρισεν· ἀλλ' αὐτὸς ὁ τοῦ παραδείσου πρῶτος πολίτης, τῇ συμβουλῇ τοῦ ὄφεως, τῆς ἐντολῆς προτιμήσας τὴν παράβασιν, ἑαυτῷ καὶ τὸν θάνατον καὶ τὴν ἐκβολὴν τοῦ παραδείσου κατειργάσατο». Ἐκ τῶν αὐτῶν. «Μεθόριον γὰρ ὥσπερ ὁ ἄνθρωπος γεγονὼς καὶ δυνάμενος, εἴπερ βούλοιτο, θεωθῆναι, οὐκ ἔχων δὲ ἀνάγκην ἄνπερ βούλοιτο πρὸς τὰ χείρω ῥέψαι ἀναστέλλουσαν τὴν ὁρμήν».

Βασιλείου. «Οὔτε τὰ σωματικὰ ἐκβάλλομεν, καὶ τὰ πνευματικὰ ἐπιζητοῦμεν. Ὡς γὰρ ἐπὶ τοῦ νόμου ἦν μὲν καὶ τὸ αἰσθητόν, ἀλλὰ τύπον ἐποίει τοῦ νοητοῦ, οὕτω καὶ τὸν παράδεισον νοοῦμεν μὲν σωματικῶς, ἀλληγοροῦμεν δὲ πνευματικῶς».

f 181r Τοῦ Νείλου. ‖ «Καρποῦ δὲ παντὸς τῶν ἐν τῷ παραδείσῳ φυτῶν ἀπόλαυσιν ἐπέτρεψεν αὐτεξούσιον, ἑνὸς ἀπέχεσθαι μόνου κελεύσας, οὐ φθόνῳ τῆς γεύσεως, γυμνάζων δὲ τέως πρὸς εὐπείθειαν, ἄλλης οὐκ οὔσης ὕλης πρὸς τὴν νομοθεσίαν ἐπιτηδείας, ἵν' εἰδῇ τῶν ἀλόγων ζῴων ἡγεμονεύων πάντων, ὅτι καὶ αὐτὸς ὑπόκειται νόμῳ καὶ τὴν ἐντολὴν ἔχῃ τῆς πρὸς τὸν ἐπιτάξαντα ὑποταγῆς σημεῖον ἀρίδηλον. Τίς οὖν ἄρα ἔπρεπεν ἢ συνέφερεν ἐκείνῳ διαγωγή, ἣν ἐπετάγη νομοθετούμενος ἢ ἣν κατεδικάσθη ἀλογήσας τῆς ἐντολῆς, ὅτε πᾶσαν εἶχεν ἀπόλαυσιν καὶ τέρψιν τῆς ἐν τῷ παραδείσῳ θεωρίας καὶ χρήσεως τῶν διαφόρων φυτῶν, ἢ ὅτε ταλαιπωρούμενος τοῖς γεωργικοῖς μόχθοις ἐν ἱδρῶτι τοῦ προσώπου τῆς τροφῆς μετελάμβανεν, ὅτε καρπῶν ὧν ἤθελεν ἀμερίμνως ἀπέλαυε καὶ πᾶν τὸ τερπνὸν ἐδρέπετο τῇ χειρὶ τῇ ἐκτάσει ταύτης εἰς τὴν ἐδωδὴν μόνον σκυλλόμενος καὶ τὴν ὄρεξιν ἀκαμάτως δεξιούμενος εἱστία τῷ τὴν ἐπιθυμίαν κινήσαντι πρὸς ἔφεσιν βρώματι πληροφορῶν ταύτην καὶ παραμυθούμενος φυσικῷ κεκαρυκευμένῳ σίτῳ ἢ ὅτε σκαπάνην καὶ δίκελλαν καὶ ἄρπην μετεχειρίζετο, αὐλακίζων ἀρότρῳ τὴν αὐτομάτως πρὸ μικροῦ τὰ χρήσιμα βρύουσαν γῆν» ;

Γρηγορίου Θεσσαλονίκης. «Εἰ γὰρ καὶ πρῶτος ὁ νοῦς ἔστι ὁ διατεθεὶς κακῶς, ἀλλὰ κάτωθεν διὰ τῶν αἰσθήσεων ἀναμαξάμενος τὴν φαντασίαν τῶν αἰσθητῶν σωμάτων, οὕτω πρὸς ἐκεῖνα διετέθη, καὶ μάλιστα διὰ τῶν ὀφθαλμῶν πρώτων δυναμένων καὶ πόρρωθεν τὸ μύσος ἐπισπάσασθαι πρὸς τὴν παράχρησιν ἐπαίρεται καὶ τούτου σαφὲς μαρτύριον ἡ προμήτωρ καθέστηκεν Εὔα. Πρῶτον γὰρ εἶδεν ὅτι καλὸν εἰς ὅρασιν καὶ ὡραῖον τοῦ κατανοῆσαι, καὶ τότε συγκατατεθεῖσα τῇ καρδίᾳ ἥψατο καὶ ἐγεύσατο τοῦ ἀπηγορευμένου ξύλου. Καλῶς ἄρ' ἐλέγομεν ὅτι προτερεύει καὶ προοίμιόν ἐστιν ἡ πρὸς τὰ κάλλη τῶν σωμάτων ἧττα τῶν αἰσχρῶν παθῶν».

ΙΩΑΝΝΙΝΑ 2006